Ἐν τῷδε τῷ τρίτῳ τμήματι ἐπιτάφια ἔχοντι, περιέχεται κεφάλαια τάδε· εἰς ἀγαθοὺς ἄνδρας· ἀγωνιστάς· ἀδελφούς· ἁλιέας· ἀνδρείους· ἄνδρας ἐπισήμους· ἀρχαίους τινάς· αὐλητάς· βρέφη· γερόντων· γεωργούς· γυναῖκας· δούλους· ἥρωας· ἰατρούς· ἰξευτάς· ἰχθύας· κιθαρῳδούς· κυνηγούς· μεθυόντων· μοιχούς· ναυαγήσαντας· νέους καὶ νέας· ὄρνιας· ποιητάς· πονηρούς· πόλεις· ῥήτορας· υἱοὺς καὶ θυγατέρας· φιλοσόφους.

εἰς ἀγαθοὺς ἄνδρας.

Σωφροσύνῃ προφέρων θνητῶν ἤθει τε δικαίῳ
ἐνθάδε κεῖται ἀνὴρ θεῖος Ἀριστοκλέης.
εἰ δέ τις ἐκ πάντων σοφίης μέγαν ἔσχεν ἔπαινον,
οὗτος ἔχει πουλὺν καὶ φθόνον οὐ φέρεται. — πλάτωνος.

Λουκίτιον μὲν ἄνακτος ἄκρον βιότοιο πρὸς ὄλβον
ἤγαγον ἐξ ἀρετῆς καὶ κλέος ἀνθυπάτων.
ὣς δὲ φύσις μὲν ἔλυσεν ἀπὸ χθονός, ἀθάνατοι μὲν
αὐτὸν ἔχουσι θεοί· σῶμα δὲ σηκὸς ὅδε. — ἀδέσποτον.

ἰουλιανοῦ αἰγυπτίου.

Κλεινὸς Ἰωάννης· θνητὸς λέγε· γαμβρὸς ἀνάσσης·
θνητὸς ὅμως· γενεῆς ἄνθος Ἀναστασίου.



UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_130/0235